'κἀπὶ Κυρβάντεσι χορεύσατε'

φησὶ Σοφοκλῆς (fr. 778)· τὰ γὰρ μητρῷα καὶ πανικὰ
F κοινωνεῖ τοῖς βακχικοῖς ὀργιασμοῖς. 'τρίτη δ' ἀπὸ Μουσῶν λαβοῦσ' ἁπαλὴν καὶ ἄβατον ψυχὴν' (Plat. Phaedr. 245 a) τὸ ποιητικὸν καὶ μουσικὸν ἐξώρμησε καὶ ἀνερρίπισεν. ἡ δ' ἀρειμάνιος αὕτη λεγομένη καὶ πολεμικὴ παντὶ δῆλον ὅτῳ θεῶν ἀνίεται καὶ βακχεύεται

'ἄχορον ἀκίθαριν δακ⟨ρυο⟩γόνον Ἄρ⟨η
βο⟩άν τ' ἔνδημον ἐξοπλίζουσα' | (Aesch. Suppl. 681).

759 λείπεται δὲ τῆς ἐξαλλαγῆς ἐν ἀνθρώπῳ καὶ παρατροπῆς οὐκ ἀμαυρὸν οὐδ' ἡσυχαῖον, ὦ Δαφναῖε, μόριον, ὑπὲρ οὗ βούλομαι τουτονὶ Πεμπτίδην ἐρέσθαι . . .

'τί⟨ς καλλί⟩καρπον θύρσον ἀνασείει θεῶν;' (Trag. ad. 406)

τὸν φιλητικὸν τοῦτον περὶ παῖδας ἀγαθοὺς καὶ σώφρονας γυναῖκας ἐνθουσιασμὸν πολὺ δριμύτατον ὄντα καὶ θερμότατον; ἢ γὰρ οὐχ ὁρᾷς, ὡς ὁ μὲν στρατιώτης τὰ ὅπλα θεὶς πέπαυται τῆς πολεμικῆς μανίας,

'τοῦ μὲν ἔπειτα
γηθόσυνοι θεράποντες ἀπ' ὤμων τεύχε' ἕλοντο' (*H* 121),

καὶ κάθηται τῶν ἄθλων ἀπόλεμος θεατής, ταυτὶ δὲ τὰ βακχικὰ καὶ κορυβαντικὰ σκιρτήματα τὸν ῥυθμὸν
B μεταβάλλοντες ἐκ τροχαίου καὶ τὸ μέλος ἐκ Φρυγίου πραΰνουσι καὶ καταπαύουσιν, ὡς δ' αὔτως ἡ Πυθία τοῦ τρίποδος ἐκβᾶσα καὶ τοῦ πνεύματος ἐν γαλήνῃ καὶ ἡσυχίᾳ διατελεῖ; τὴν δ' ἐρωτικὴν μανίαν τοῦ ἀνθρώπου καθαψαμένην ἀληθῶς καὶ διακαύσασαν οὐ

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id402389735/368 UNIVERSITÄT LEIPZIG